UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

IX. De impio haereticorum baptismo.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

temporibus, in eccleſiis populoſiſſimis, & in conciliis fratrum apud Iconium & Synnada, & apud alios plurimos idem ſancitum fuiſſe. Quorum ſententias & ſtatuta ſubvertere, eoſque ad jurgia & contentiones excitare equidem nolim. Scriptum eſt enim: non commutabis terminos proximi tui quos parentes tui conſtituerunt. Quarta ejus de baptiſmo epiſtola ad DIONYſium ſcripta eſt, tunc quidem Romanæ urbis Presbyterum, ſed qui aliquanto poſt tempore ejuſdem urbis epiſcopus eſt conſtitutus. Ex qua hunc ipſum Romanum DIONYſium, eruditiſſimum planeque admirandum virum fuiſſe, teſtimonio DIONYſii Alexandrini licet cognoſcere. Porrò in hac ad illum epiſtola de Novato ita ſcribit.

Deut. 19.

A ἐν ταῖς πολυανθρωποτάταις ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ καὶ Συνάδοις καὶ παρὰ πολλοῖς τοῦτο ἔδοξεν· ὧν τὰς βουλὰς ἀνατρέπων, εἰς ἔριν καὶ φιλονεικίαν αὐτοὺς ἐμβαλεῖν οὐχ ὑπομένω. οὐ γὰρ μεταχινήσεις, φησὶν, ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες σου. ἡ τετάρτη αὐτοῦ τῶν περὶ βαπτίσματος ἐπιστολῶν, πρὸς τὸν κατὰ Ῥώμην ἐγράφη Διονύσιον. τότε μὲν πρεσβείου ἠξιωμένον. οὐ μακρὸν δὲ καὶ τὴν Ἐπισκοπὴν τῶν ἐκεῖσε πα-ρειληφότα· ἐξ ἧς γνῶναι πάρεστιν, ὅπως καὶ αὐτὸς ἔτος λόγιός τε καὶ θαυμάσιος πρὸς τοῦ B κατ' Ἀλεξάνδρειαν Διονυσίου μεμαρτύρηται. γράφει δὲ αὐτῷ μεθ' ἕτερα, τῶν κατὰ τὸν Νοουάτον μνημονεύων ἐν τούτοις.

CAPUT VIII.

De hæreſi Novati.

Huc refer Niceph. c. 9. l. 6.

NAm Novatianum, inquit, meritò averſamur, quippe qui eccleſiam diſcidit, & quoſdam ex fratribus ad impietatem blaſphemiamque pertraxit; qui nefariam de DEO doctrinam invexit, & clementiſſimum DOMINUM noſtrum Jeſum Chriſtum quaſi implacabilem calumniatur: qui præterea ſacrum lavacrum obliterat: fidemque & confeſſionem quæ baptiſmum præcedunt evertit: & Spiritum ſanctum penitus ab illis fugat, tametſi ſpes aliqua ſubſit vel quòd in illis adhuc maneat, vel quòd ad eos reverſurus ſit.

ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ τῆς κατὰ Νοουάτον ἑτεροδοξίας.

ΝΟουατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα, διακόψαντι τὴν ἐκκλησίαν, καὶ τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑλκύσαντι. καὶ περὶ τοῦ Θεοῦ διδασκαλίαν ἀνοσιωτάτην ἐπεισκυκλήσαντι. καὶ τὸν C χρηστότατον Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι. ἐπὶ πᾶσι δὲ τούτοις τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον. καὶ τήν τε πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι. τό, τε πνεῦμα τὸ ἅγιον ἐξ αὐτῶν, εἰ καί τις ἦν ἐλπὶς τοῦ παραμεῖναι ἢ ἐπανελθεῖν πρὸς αὐτοὺς, παντελῶς φυγαδεύοντι.

CAPUT IX.

De impio hæreticorum Baptiſmo.

Huc refer Niceph. c. 9. l. 6.

EXſtat & quinta ejuſdem epiſtola ad Xyſtum Romanæ urbis epiſcopum ſcripta. In qua poſtquam adverſus hæreticos multa diſſeruit, hujuſmodi quiddam ſua ætate contigiſſe narrat. Nam profectò, inquit, opus habeo frater conſilio tuo, & ſententiam tuam expeto, ne forte ipſe halluciner, tali ad me negotio delato. Quidam ex fratribus qui ad eccleſiam conveniunt, jampridem pro fideli habitus, & qui ante meam ordinationem, ac ni fallor ante ipſius quoque Heraclæ epiſcopatum, cœtus fidelium particeps fuerat: cùm interfuiſſet baptiſmo eorum qui nuper baptizabantur, & interrogationes reſponſaq; illorum audiiſſet: ad me acceſſit flens & vicem ſuã

ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῶν αἱρετικῶν ἀθέου βαπτίσματος.

ΚΑὶ ἡ πέμπτη δὲ αὐτῷ πρὸς τὸν Ῥωμαίων D Ἐπίσκοπον Ξύστον ἐγέγραπτο. ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν εἰπὼν, τοιοῦτόν τι γεγονὸς κατ' αὐτὸν ἐκτίθεται λέγων. καὶ γὰρ ὄντως ἀδελφὲ συμβουλῆς δέομαι, καὶ γνώμην τὴν παρὰ σοῦ, τοιούτου τινός μοι προσελθόντος πράγματος, δεδιὼς μὴ ἄρα σφάλλωμαι. τῶν γὰρ συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος ἀρχαῖος καὶ πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ πρὸ τῆς τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς μετασχὼν. τοῖς ὑπ... βαπτιζομένοις παρατυχὼν, καὶ τῶν ἐπερωτήσεων καὶ ἀποκρίσεων ἐπακούσας, προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν, καὶ πι...

GALLUS.

πρὸ τῶν ποδῶν μου. ἐξομολογούμενος μὲν καὶ ἐξομνύμενος τὸ βάπτισμα ὃ παρὰ τοῖς αἱρετικοῖς βεβάπτιστο, μὴ τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν τινὰ πρὸς τοῦτο κοινωνίαν. ἀσεβείας γὰρ ἐκεῖνο καὶ βλασφημιῶν πεπληρῶσθαι· λέγων δὲ πάνυ τὴν ψυχὴν νῦν κατανενύχθαι, καὶ μηδὲ παρρησίαν ἔχειν ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς τὸν Θεὸν ἀπὸ τῶν ἀνοσίων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρμώμενος. καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν· ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι. φήσας αὐτάρκη τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι. εὐχαριστίας γὰρ ἐπακούσαντα, καὶ συνεπιφθεγξάμενον τὸ Ἀμὴν, καὶ τραπέζῃ παραστάντα, καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς προτείναντα. καὶ ταύτην καταδεξάμενον, καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετασχόντα ἱκανῷ χρόνῳ, οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνασκευάζειν ἔτι τολμήσαιμι. θαρσεῖν δὲ ἐκέλευον, καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς συνειδήσεως τῇ μετοχῇ τῶν ἁγίων προσιέναι. ὁ δὲ οὔτε πενθῶν παύεται. πέφρικέ τε τῇ τραπέζῃ προσιέναι· καὶ μόλις παρακαλούμενος συνεστάναι ταῖς προσευχαῖς ἀνέχεται. ἐπὶ ταῖς προειρημέναις, φέρεταί τις ε΄ ἄλλη τοῦ αὐτοῦ περὶ βαπτίσματος ἐπιστολὴ, ἐξ αὐτοῦ καὶ ἧς ἡγεῖτο παροικίας, Ξύστῳ καὶ τῇ κατὰ Ῥώμην ἐκκλησίᾳ προσπεφωνημένη· ἐν ᾗ διὰ μακρᾶς ἀποδείξεως, τὸν περὶ τοῦ ὑποκειμένου ζητήματος παρατείνει λόγον. καὶ ἄλλη δέ τις αὐτοῦ μετὰ ταύτας φέρεται πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον, ἡ περὶ Λουκιανοῦ. καὶ περὶ μὲν τούτων τοσαῦτα.

A ingemiſcens. Pedibuſque meis advolutus confiteri atque dejerare cœpit, Baptiſmum quo apud hæreticos initiatus fuerat, non hujuſmodi eſſe, nec cum hoc noſtro quidquam commune habere. Quippe illum plenum eſſe blaſphemiæ & impietatis. Ajebatque animum ſuum acerbiſſimo doloris ſenſu compungi, ac ne oculos quidem ad Deum attollere ſe audere: quippe qui ſceleſtis illis verbis ac cæremoniis initiatus fuiſſet. Proinde orabat, ut hoc puriſſimo lavacro, veriſſimaque adoptione & gratia donare- B tur. Quod equidem facere non ſum auſus: ſed diuturnam illi communionem ad id ſufficere dixi. Nam qui gratiarum actionem frequenter audierit, & qui cum cæteris reſponderit Amen; qui ad ſacram menſam aſtiterit, & manus ad ſuſcipiendum ſacrum cibum porrexerit; qui illum exceperit, & corporis ac ſanguinis Domini noſtri Jeſu Chriſti particeps fuerit diutiſſimè, cum ego de integro renovare non auſim. Porrò ut bono animo eſſet, & cum firma fide bonæ C ſpei plenus ad Dominici corporis participationem accederet, juſſi. Verùm ille nullum lugendi finem facit, & ad menſam accedere penitus exhorreſcit: vixque rogatus intereſſe orationibus ſuſtinet. Præter ſupradictas eſt etiam quinta ejuſdem epiſtola de Baptiſmo, ipſius & Eccleſiæ quam regebat nomine, ad Xyſtum & eccleſiam urbis Romæ directa: in qua de propoſita quæſtione prolixam admodum diſputationem inſtituit. Præter has alia exſtat ejuſdem epiſtola de Luciano, ad Dionyſium Romanum ſcripta. Sed de his hactenus.

D

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ Οὐαλεριανοῦ καὶ τοῦ κατ᾽ αὐτὸν διωγμοῦ.

Οἱ γε μὴν ἀμφὶ τὸν Γάλλον οὐδ᾽ ὅλοις ἔτεσι δύο τὴν ἀρχὴν ἐπικατασχόντες ἐκποδὼν μεθίστανται· Οὐαλεριανὸς δὲ ἅμα Γαλλιηνῷ παιδὶ διαδέχεται τὴν ἡγεμονίαν. αὖθις δὴ οὖν ὁ Διονύσιος οἷα καὶ περὶ τούτου διέξεισιν, ἐκ τῆς πρὸς Ἑρμάμμωνα ἐπιστολῆς μαθεῖν ἔστιν, ἐν ᾗ τοῦτον ἱστορεῖ τὸν τρόπον. καὶ τῷ Ἰωάννῃ δὲ ὁμοίως ἀποκαλύπτεται. καὶ ἐδόθη γὰρ αὐτῷ, φησὶ, στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν. καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαρακονταδύο. ἀμφότερα δέ ἐστιν ἐπὶ

Caput X.

De Valeriano, & de perſecutione ab eo excitata.

Gallo interim è medio ſublato, cùm vix biennii ſpatio Imperium tenuiſſet: Valerianus cum Gallieno filio in ejus locum ſuccedit. De hoc verò quæ tradat Dionyſius, ex epiſtola ejus ad Hermammonem licet cognoſcere, in qua ita ſcribit: Joanni quoque ſimiliter revelatum eſt. Ait enim: Et datum eſt illi os loquens magna & impia: & data eſt illi poteſtas & menſes quadraginta duo.

Huc refer Niceph. c. 10. l. 6.

Apoc. 13.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN